English text: World English Bible (public domain)
Greek text: Westcott-Hort Greek New Testament (public domain)
Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org




January 31 - **Matthew 9:18-26**
**A Dead Girl and a Sick Woman**

18 Ταῦτα αὐτοῦ
λαλοῦντος αὐτοῖς ἰδοὺ
ἄρχων [εἷς] ἐλθὼν
προσεκύνει αὐτῷ
λέγων ὅτι Ἡ θυγάτηρ
μου ἄρτι ἐτελεύτησεν·
ἀλλὰ ἐλθὼν ἐπίθες τὴν
χεῖρά σου ἐπ᾽ αὐτήν,
καὶ ζήσεται.
19 καὶ ἐγερθεὶς ὁ
Ἰησοῦς ἠκολούθει αὐτῷ
καὶ οἱ μαθηταὶ αὐτοῦ.

18 While he told
these things to them,
behold, a ruler came
and worshiped him,
saying, “My daughter
has just died, but
come and lay your
hand on her, and she
will live.”
19 Jesus got up and
followed him, as did
his disciples.

20 Behold, a woman who had an issue of blood for
twelve years came behind him, and touched the
tassels of his garment;
21 for she said within herself, “If I just touch his
garment, I will be made well.”
22 But Jesus, turning around and seeing her, said,
“Daughter, cheer up! Your faith has made you well.”
And the woman was made well from that hour.

20 Καὶ ἰδοὺ γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη
προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ
κρασπέδου τοῦ ἱματίου αὐτοῦ·
21 ἔλεγεν γὰρ ἐν ἑαυτῇ Ἐὰν μόνον ἅψωμαι
τοῦ ἱματίου αὐτοῦ σωθήσομαι.
22 ὁ δὲ Ἰησοῦς στραφεὶς καὶ ἰδὼν αὐτὴν
εἶπεν Θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέν
σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.




23 When Jesus came into
the ruler’s house, and saw
the flute players, and the
crowd in noisy disorder,
24 he said to them, “Make
room, because the girl
isn’t dead, but sleeping.”
They were ridiculing him.
25 But when the crowd
was put out, he entered
in, took her by the hand,
and the girl arose.
26 The report of this went
out into all that land.

23 Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς
τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ
ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν
ὄχλον θορυβούμενον
24 ἔλεγεν Ἀναχωρεῖτε, οὐ
γὰρ ἀπέθανεν τὸ κοράσιον
ἀλλὰ καθεύδει. καὶ
κατεγέλων αὐτοῦ.
25 ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος,
εἰσελθὼν ἐκράτησεν τῆς
χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ
κοράσιον.
26 Καὶ ἐξῆλθεν ἡ φήμη αὕτη
εἰς ὅλην τὴν γῆν ἐκείνην.